αὐτοῦ τοὺς πόδας, ἴσως εὐλαβηθεὶς, φανῇ περίεργος, καὶ ὁ αἴσωπος δαρήσεται. ἡ δὲ θέλουσα μαστιγωθῆναι τὸν αἴσωπον ἐπεκρίθη, καὶ λαβοῦσα λέντιον, προσέφερε τῷ ξένῳ τὴν λεκάνην. ὁ δὲ θεασάμενος καὶ γνοὺς, ὅτι ἐστὶν ἡ οἰκοδέσποινα, φησὶ καθ' ἑαυτὸν, πάντως τιμῆσαι μὲ θέλει, καὶ διὰ τοῦτο αὐτοχέρως μου νίπτει τοὺς πόδας, φησὶ, νίψον κυρία. καὶ νιψάμενος ἀνέπεσεν. ὁ δὲ ξάνθος φησὶ, δοθήσω τῷ ξένῳ πρῶτον οἰνόμελι. ὁ δὲ ξένος πρὸς ἑαυτὸν, αὐτοὺς μὲν ἔδει πρῶτον πιεῖν. ἐπεὶ δὲ αὐτοῖς οὕτως δοκεῖ, οὐ περιεργάσομαι, καὶ λαβὼν ἔπιεν. ἀριστώντων δὲ αὐτῶν παρετέθη ἰχθύς. ὁ δὲ ξάνθος τῷ ξένῳ λέγει, φάγε. ὁ δὲ ὡς ἀδελφὸς ἤσθιε τοὺς ἰχθύας. ὁ οὖν ξάνθος ἐπαφορμιζόμενος, ἔφη τῷ μαγείρῳ, διατί κακῶς ἤρτυσας. ἐκδυθήτω οὖν καὶ τυφθήτω. ὁ δὲ ἄγροικος

http://digital.slub-dresden.de/ppn346259193/56